Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tyc-ce

Ζώσιμος ὁ Πανοπολίτης · Zosimus of Panopolis

# On Divine Water

Περὶ θείου ὕδατος

**Period:** Ὀψιμαρχαία Late Antique
**Dialect:** Κοινὴ τεχνική Technical Koine
**Domain:** Ἐπιστήμη Science
**Format:** Πραγματεία Treatise

2.184.(1t) ΠΕΡΙ ΘΕΙΟΥ ΥΔΑΤΟΣ Πρῶτον δεῖξαι δεῖ ὅτι σύνθετον τὸ ὕδωρ τοῦ θείου ἐκ πάντων τῶν ὑγρῶν, ἔχον τὴν σύγκρασιν, καὶ διὰ πάντων τῶν ὑγρῶν ὀνομάζεται. Καθάπερ τὸ στερεὸν σύνθεμα δι’ ἑνὸς ἑκάστου αὐτῶν εἴδους ἐκάλεσεν, οὕτως καὶ τὸ ὑγρὸν δι’ ἑνὸς ἑκάστου ὑγροῦ ὕδωρ θεῖον, διὰ δὲ μυρίων ὀνομάτων τὰ δύο συνθέματα καλοῦσιν. Καλεῖται ὕδωρ θεῖον δι’ ἅλμης, διὰ ὕδατος θαλασσίου, διὰ οὔρου ἀφθόρου, δι’ ὄξους, δι’ ὀξάλμης, δι’ ἐλαίου κικίνου, ῥεφανίκου, βαλσάμου, γάλακτος γυναικὸς ἀρρενοτόκου, καὶ γάλακτος βοὸς μελαίνης, καὶ δι’ οὔρου δαμάλεως, καὶ προβάτου θηλείας· τινὲς οὔρου ὀνείου· ἄλλοι καὶ ὕδατος ἀσβέστου, καὶ μαρμάρου, καὶ φέκλης, καὶ θείου, καὶ ἀρσενίκου, καὶ σανδαράχης, καὶ νίτρου, καὶ στυπτηρίας σχιστῆς, καὶ γάλακτος πάλιν ὀνείου, καὶ αἰγείου, καὶ κυνίνου· καὶ ὕδατος σποδοκράμβης, καὶ ἄλλων ὑδάτων ἀπὸ σποδοῦ γινομένων· ἄλλοι καὶ μέλιτος, καὶ ὀξυμέλιτος, καὶ ὄξους, καὶ νίτρου, καὶ ὕδατος ἀερίου, καὶ Νείλου, καὶ ἄρκτου, καὶ οἴνου ἀμηναίου, καὶ ῥοϊτοῦ, καὶ μορίτου, καὶ σικερίτου καὶ ζύθου· καὶ ἵνα μὴ τὰ πάντα ἀναγινώσκω, διὰ παντὸς ὑγροῦ. Καὶ τὸ λευκὸν καὶ τὸ ξανθὸν πολλάκις ἐκάλεσαν οἱ παλαιοὶ διαφόρως. Δοκεῖ μοι ὅπως ὁ φιλόσοφος Πηβίχιος διέσταλκε τῷ φιλοσόφῳ ἐπὶ τῶν ξανθῶν ζωμῶν· «ἄνες οἴνῳ ἀμηναίῳ».

2.185 Ὅπερ οἴνῳ νέῳ πάσαις ταῖς λευκώσεσιν οὐ κατέλεξαν ζωμόν. Πηβίχιος δὲ· «Σίκερα καὶ μορίτην καὶ ῥοΐτην, πλὴν οὕτω διαστείλαντες οὐδὲν ὠφέλησαν τοὺς ἀκροατάς, πάνυ δυσνοήτως οὕτως· ἓν γὰρ ἕκαστον εἶδος οἰκονομῶν ὁ φιλόσοφος διὰ λευκώσεως καὶ ξανθώσεως οἰκονομεῖ, καὶ διὰ τῶν δύο ὧν προήκουσας, καύσεων ἢ ἑψήσεων. Φησὶν οὖν ἐπὶ τοῦ πυρίτου· «Λαβὼν πυρίτην, οἰκονόμει, λείου ἢ ὀξάλμῃ καὶ τοῖς ἑξῆς» ὃ αἰνίττεται ὕδωρ θεῖον λευκόν. Εἶτα ἐπὶ τῆς κινναβάρεως· «Τὴν κιννάβαριν ποίει λευκὴν δι’ ἐλαίου ἢ ὄξους καὶ μέλιτος καὶ τῶν ἑξῆς.» Ἐπὶ δὲ τοῦ ἀνδροδάμαντος· «Ὁμοίως πάλιν, ἅλμῃ ἢ ὀξάλμῃ.» Εἶτα ἐπιφέρει· «Ἕψει ὕδωρ θείου ἀθίκτου, ἵνα γνῷς ὅτι ὕδατα θαλάσσια, καὶ οὖρον, καὶ ὄξος, καὶ τὸ ἐν τῇ κινναβάρει ἔλαιον, καὶ μέλιτος, ὕδωρ θεῖόν ἐστιν. Δι’ ἑνὸς γὰρ εἴδους τὸ ὅλον αἰνίττεται. Ὕστερον ἐν τῷ ἀνδροδάμαντι κηρῦξαι θέλων ἔλεγεν· «Ἕψει ὕδωρ θείου ἀθίκτου· τὰ γὰρ αὐτὰ ὑγρὰ καὶ ὕδατά εἰσιν ἀθίκτων· καὶ τῶν δι’ ἀσβέστου ἐπιβολῶν ἀμειβουσῶν καὶ τὸ χρῶμα καὶ τὸ ὄνομα, ἐν μὲν τῷ θείῳ τῷ λευκῷ, «γῆ χεία καὶ ἀστερίτης καὶ ἀφροσέληνον ἐν τῇ τάξει τοῦ χαλκοῦ»· ἐν δὲ τῷ ξαντῷ· «ἐπίβαλλε ὤχραν ἀττικήν, σινώπην ὀπτὴν ποντικὴν καὶ τὰ ὅμοια». Πάλιν τε ἐπὶ τῆς χρυσοκόλλης· «Πυρῶν καὶ ποτίζων αὐτὴν ἐλαίῳ ἕως ἑπτάκις». Καὶ ἐν χρυσοποιΐᾳ ἕκαστον αὐτῶν προελεύκανεν. Ὁμοίως καὶ τὴν λιθάργυρον ἐν τοῖς ἀμφοτέροις συνθέμασιν· πλέω γὰρ

δύο ἑψήσεων οὐ γίνεται ἐν τῇ κατενεργείᾳ· ἀλλὰ καὶ τὴν νεφέλην καὶ τὴν λιθάργυρον ἐν τοῖς ζωμοῖς μέλιτι λευκοτάτῳ ἀναλαμβάνει. Καὶ οὐ παρέλειψέν τι τῶν ὑγρῶν, ἀλλ' ἐν τοῖς ἀμφοτέροις συνθέμασιν· συνέθετο γὰρ λύσιν κομάρεως καὶ ῥάκινον, καὶ δι' ἐλυδρίου σκευαστοῦ γίνεσθαι ἔλεγε σύνθετον τὸ ὕδωρ τοῦ θείου· καὶ τὴν χρυσόκολλαν κελεύει ζέννυσθαι ὕδωρ μαρμαρικῆς ἀσβέστου ἐλαίῳ· καὶ τὸν πυρίτην σὺν μέλιτι ὕδωρ θεῖον διὰ τῶν τεσσάρων βιβλίων διαφόρως διέρχεται οἰκονομῶν, ἐν μὲν τῷ ἀργύρῳ «γῆν χείαν, ἀστερίτην καὶ ἀφροσέληνον, καὶ τῆς ἰδίας αὐτοῦ ἐπιβολῆς»· ἐν δὲ τῷ ξανθῷ, «σινώπην, ὤχραν ἀττικὴν, καὶ λιθοφρύγιον, ἐὰν εὕρῃς»· ἐν δὲ τοῖς λίθοις, «αἷμα τράγου καὶ χυλὸν ἁλικακάβου»· ὕστερον δέ· «εἴ πώ τι χρήσιμον· τὰ θειώδη ὑπὸ τῶν θειωδῶν κρατεῖται, καὶ τὰ ὑγρὰ ὑπὸ τῶν καταλλήλων ὑγρῶν· τὰ γὰρ θειώδη ὑπὸ τῶν θειωδῶν κατέχεται.

2.186 »

Eulogikon public reading copy · View original HTML at eulogikon.org